ὅπερ ἦν ἐπάνω, σταυροῦ κατασκευάσας ὁ κωνσταντῖνος χρυσή-
λατον, σὺν τῆς σημαίας ἴχνει. καὶ ἅμα πάντας τοὺς ἀμφ' αὐτὸν
στρατηγούς τε καὶ στρατιώτας καὶ ταξιάρχους καὶ λοχαγούς,
τὰ πρὸς ἀπάντησιν στρατόπεδα ἐκίνησεν. ἐπακούων ὁ μαξέντιος,
τούτου σταυροῦ πολέμιον αὐτὸς ἐπίκουρον ἐκ τοῦ ἐναντίου
ἐπεκαλέσατο αὐτῷ τὸν διάβολον. καὶ ὅλος ἑαυτὸν ἐκδοὺς γοη-
τείαις καὶ τερατείαις δαιμονικαῖς. καὶ μετὰ τοιούτων ἐλ-
πίδων, τάς τε θρᾳκικὰς καὶ ἰταλικὰς καὶ αὐτὸς συνεκρότει
καὶ αὐτὸς ὡς πλείστης δυνάμεις. ἀρξάμενος δὲ καὶ μιαιφονεῖν οὐκ ἐπι-
λέλοιπεν αὐτῶν ἀπέκτεινε καὶ ἀφειδῶς. τάφρους τε
πρὸ τῆς ῥώμης ὤρυττε. καὶ μηχανὰς συνίστη. καὶ
ὀχυρώματα συνεσκεύαζε. καὶ δόλους ἔρραπτεν. ἤδη
δὲ καὶ πλησίον κωνσταντῖνος ἧκεν τῆς ῥώμης. καὶ τόπου ἐπι-
τυχὼν ὀχυροῦ, τότε χάρακα ἐπήξατο. καὶ αὐτόθι κατεστρα-
τοπέδευσεν. καὶ ἐφ' ἡμέραις κύκλῳ βαδίζων. τοῖς προσή-
κουσι καιροῖς καὶ λόγοις παραθαρσύνων τούς τε στρατηγοὺς καὶ
λοχαγοὺς καὶ οὐραγούς. καὶ παραγγέλλων, ὅπως φάλαγγάς τε
χρὴ πυκνοῦν, καὶ λόχους προλοχίζειν. καὶ ἀγχιστρόφους ποι-
εῖσθαι, τάς τε κυκλώσεις καὶ ἐνέδρας καὶ περιδρομὰς τοῦ
πολέμου. καὶ μὴ δεδιέναι τὰς ἀδοκήτους τῆς τύχης
καὶ ἀτεκμάρτους περιστάσεις. [illegible]